δηλοῦτ᾽ ἐναργῶς ἐμφανῶν ἐκ σημάτων·
ἥ τις χολώδης αἰτία ᾿στι τῶν νόσων
δριμεῖα, πικρόχυμος, ἰωδεστάτη
τοῖς ἐκ χολῆς ὡς πυρετοῖς δεινοῖς πάνυ,
ἡμιτριταίοις, καὶ χολώδεσι πλέον·
ἢ καὶ νοσημάτων τι λοιμωδῶν πάρα
δεινῆς ὀλεθρίου τε σήψεως γόνος·
ἐν τοῖς δε, τοῖς τούτοισι τ᾽ ἠδελφισμένοις,
ὅσοις τὰ τρισσὰ ταῦτ᾽ ἔνεστιν αἰτίων,
κἀν ὀξέ᾽ ὦσι, τίς ποτε φλέβα σχάσῃ
ἐπ᾽ ὠφελείᾳ κοὐκ ἐπὶ βλάβῃ πλέον;
οὐ θιγγάνει γὰρ οὐδαμῶς τῶνδ᾽ αἰτίας,
ἥγ᾽ ἐστὶν ὀῤῥὸς, ἥ τε τοῦδε ποιότης
παρεκτραπέντος, ἔστιν οἷσι τ᾽ ἐν τόποις
ἐπιῤῥυέντος τοῖς φύσει τεταγμένοις
ἐπ᾽ ἔκκρισιν τοῦδ᾽, οὐκ ἐρυθρόν δ᾽ αἷμ᾽ ἅπαν,
ὃ δὴ κενώσει τῇ φλεβὸς τῇδε σχάσει.
χολὴ δὲ καὶ μίασμα λοιμωδῶν νόσων
ἄθικτα πάντῃ τῷδ᾽ ἀκεσμῷ δὴ πέλει,
οὔτ᾽ οὖν ἔνεστι ταῦτ᾽ ἄγειν φλεβὸς σχάσει·
ἄλλας γὰρ οἶδεν ἐκροὰς τῶνδ᾽ ἡ φύσις
τὸ δέρμα, σὺν κύσει δὲ κἀμφοῖν γαστέροιν
μυκτῆρας, ἢ βρόγχον τε καὶ ξύμπαν στόμα,
ταῦθ᾽ ἅσσα δήπου ξυμφέροντα χωρία
δι᾽ ὧν τὰ τρισσὰ ταῦτα προσφόρως ἄγειν
εἴωθεν ἀεὶ, κοὔποτ᾽ οὔποτε φλέβας,